N. 106

# ΠΑΡΑΚΛΗΣΙΣ ΚΑΙ ΚΔ΄ ΟΙΚΟΙ
## ΕΙΣ ΤΟΝ ΘΕΙΟΝ ΒΑΠΤΙΣΤΗΝ ΚΑΙ ΠΡΟΔΡΟΜΟΝ
# ΙΩΑΝΝΗΝ

Ἀναγινώσκονται ἑκάστην Τρίτην μὴ ἑορταζομένου Ἁγίου.
Προσετέθησαν Πολυέλεος καὶ σύντομος Ὁμιλία
Ἐκδίδεται χάριν εὐλαβείας
ὑπὸ τοῦ Αἰδεσιμωτάτου καὶ Πνευματικοῦ Πατρὸς

ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ
Ἱερέως καὶ ἐφημερίου τοῦ Ναοῦ Ὁσίου Μελετίου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΓΙΩΡΓΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ
3/7/
X462

Καὶ σὺ Παιδίον, Ὑψίστου κληθήσῃ,
προπορεύσῃ γὰρ πρὸ προσώπου
Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Μεγαλυνάριον τοῦ Προδρόμου

Μείζονα κριθέντα τῶν Προφητῶν, σὲ τὸν τῆς ἐρήμου μέγαν ὄντως καθηγητήν, κήρυκα τὸν θεῖον καὶ βαπτιστὴν Κυρίου, τὸν Πρόδρομον τὸν μέγαν πάντες δοξάζομεν.

Ἅγιε Ἰωάννη, Προφῆτα καὶ Πρόδρομε καὶ Βαπτιστὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

ΑΘΗΝΑΙ 1925.



ΑΓΙΟΣ ΙΩΑΝΝΗΣ Ο ΠΡΟΔΡΟΜΟΣ

Πρεσβείαις Κύριε τοῦ Προδρόμου καὶ σῶσόν με. Τῇ πρεσβείᾳ τοῦ τιμίου καὶ ἐνδόξου, Βαπτιστοῦ σου Προφήτου Προδρόμου τε, Χριστέ μου Σῶτερ τοὺς δούλους σου φύλαξον.

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΠΡΟΔΡΟΜΟΝ
### ΥΠΟ ΤΙΝΟΣ ΕΥΣΕΒΟΥΣ

**Διορθωθεὶς ὑπὸ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μετὰ τὸ Εὐλογητόν, τὸ Κύριε εἰσάκουσον.
Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον
Ἦχος δ΄. Ὑπὸ τοῦ Ἀρ. Σερ.
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ τοῦ Κυρίου μεγαλώνυμος κῆρυξ καὶ Ἀποστόλων ἡ κρηπὶς Ἰωάννη, θεομιμήτως πάριδε Πανάγιε, ἅπαντα τὰ πταίσματα τῆς ἀθλίας ψυχῆς μου· ῥῦσαι ἐκ παντοίων με καὶ ποικίλων κινδύνων καὶ τὸν κοινὸν ἱλέωσαι Θεόν, ἵνα ἐν κρίσει παράσχῃ μοι ἄφεσιν.

Δόξα· Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσωμεν..

Ὁ Ν΄. Καὶ ὁ κανών.

ᾠδὴ Α΄. ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας

Δεινῶς με χειμάζουσι λογισμοί, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, Προφῆτα καὶ Πρόδρομε Κυρίου, ἐκ πάσης νόσου καὶ βλάβης με λύτρωσαι.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Μα-

καρ, ταῖς πρεσβείαις, ταῖς πρὸς Θεόν σου, Προφῆτα καὶ σῶσόν με. Δόξα.

Τὸν γῆς καὶ θαλάσσης καὶ Οὐρανοῦ, ποιητὴν ἁπάντων ἀοράτων καὶ ὁρατῶν, ὡς αὐτὸν βαπτίσας ἐκδυσώπει, ἐκ πάσης νόσου καὶ βλάβης ῥυσθῆναί με.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη, Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

ᾠδὴ Γ΄. Οὐρανίας ἁψῖδος.

Προστασίαν καὶ σκέπην τὴν σὴν ἀεὶ δίδου μοι, ἐπικαλουμένῳ, Προφῆτα, σύ με κυβέρνησον, ταῖς ἱκεσίας σου, τὸν ἀσφαλῆ πρὸς λιμένα, καὶ δεσμῶν με λύτρωσαι τοῦ πολεμήτορος. Ἅγιε τοῦ Θεοῦ.

Ἱκετεύω, Προφῆτα, τὸν ψυχικὸν τάραχον καὶ τὰς προσβολὰς τῶν δεινῶν νόσων πάντοτε, ἐπερχομένας μοι, ἐξ ἐμοῦ, Πρόδρομε, τάχυ, μακρὰς ἀποδίωξον ταῖς ἱκεσίαις σου. Δόξα.

Χαλεπαῖς ἁμαρτίαις καὶ νοσεροῖς πάθεσι περικλυζομένῳ, Προφῆτα, σύ με βοήθησον, ὑπὸ τὴν σκέπην σου ὁλοτελῶς προσφυγόντι, καὶ θερμῶς κραυγάζοντι, σῶσόν με Πρόδρομε.

Θεοτοκίον.

Εὐεργέτην τεκοῦσα τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον, πάντα γὰρ δύνασαι ὡς δυνατὸν ἐν ἰσχύϊ τὸν Χριστὸν κυήσασα μόνη Πανάχραντε.



ᾠδὴ Δ΄. Εἰσακήκοα Κύριε.

Τὸν παθῶν μου τὸν τάραχον ὁ τὸν εἰρηνάρχην βαπτίσας Κύριον, ταῖς πρεσβείαις σου κατεύνασον, καὶ εἰς γῆν πραέων με ἐνόρμησον.

Εὐσπλαγχνίας τὸ πέλαγος, ὁ ἀνυποστόλως κηρύξας ἅπασι, καθικέτευε σοῦ δέομαι, τῶν βασάνων ὅπως λυτρωθείημεν.

Ἀπολαύοντες, Πρόδρομε, τῶν σῶν δωρημάτων σοὶ χαριστήριον, ἀναμέλπωμεν ἐφύμνιον, οἱ τῆς σῆς τρυφῶντες ἀντιλήψεως. Θεοτοκίον.

Οἱ τὴν ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

ᾠδὴ Ε΄. Φώτισον ἡμᾶς.

Πλήρωσον ἡμῶν τὰς αἰτήσεις τῶν τιμώντων σε ὁ τοῦ ἀδύτου τὴν ὑφήλιον, φωτὸς πληρώσας τῷ κηρύγματί σου, Πρόδρομε. Ἅγιε τοῦ Θεοῦ.

Λύτρωσον ἡμᾶς ἐκ κινδύνων Βαπτιστὰ τοῦ Χριστοῦ, ὁ αἰωνίαν κηρύξας λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τῶν δεινῶν νοσημάτων τὴν ἀσθένειαν τῶν πρεσβειῶν τῶν σῶν τῇ θερμότητι, ὁ τὸν Σωτῆρα βαπτίσαι φανεὶς ἐπάξιος.

Θεοτοκίον.

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν ταῖς πρεσβείαις σου παράσχου μοι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑ...

ᾨδὴ ΣΤ΄. Τὴν δέησιν ἐκχεῶ.

Θανάτου καὶ τῆς φθορᾶς ἐξάρπασον, ἀφθαρσίαν μοι διδοὺς ἀπολαύειν ἐκ πειρασμῶν καὶ κινδύνων παντοίων, καὶ ἐξ ἐφόδου τῶν νόσων ἐξαίρων με δεήσεσι σαῖς, Βαπτιστά, ἐν Κυρίῳ, καὶ σῶσόν με δέομαι. Ἅγιε τοῦ Θεοῦ.

Προστάτην σε τῆς ζωῆς ἐπίσταμαι, καὶ θερμὸν ἐν περιστάσεσι πρέσβυν, καὶ πειρασμῶν διαλύοντα νέφος, καὶ πᾶσαν νόσον καὶ βλάβην ἐλαύνοντα· καὶ δέομαι ὁ δυσμενὴς ἐκ φθορᾶς τῶν παθῶν μου ρυσθῆναί με. Δόξα.

Ἐν λάκκῳ ἁμαρτιῶν ἐμπέπτωκα, καὶ αὐτοῦ ἀναδραμεῖν οὐκ ἰσχύω· ἀλλ᾽ ὁ Θεὸν τὸν ἐκ λάκκου λεόντων, βαπτίσας πάλαι προφήτην ρυσάμενον, λειτάνευε ἵν᾽ ἐξ αὐτοῦ, ἀναγάγῃ με, Τίμιε Πρόδρομε. Θεοτοκίον

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι, Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα, ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Διάσωσον ἐκ πάσης νόσου, Πρόδομε τοῦ Σωτῆρος, τοὺς ὑπὸ τὴν σκέπην σου καταφεύγοντας, καὶ αἰωνίων βασάνων.

Καὶ Θεοτοκίον Ἄχραντε,

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος. Εἶτα Κοντάκιον.

Προφῆτα Θεοῦ καὶ Πρόδρομε τῆς χάριτος τὴν



Κάραν τὴν σήν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Καὶ εὐθὺς τὸ προκείμενον Ἦχος Δ΄.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡς κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχος. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει. . . κτλ.

Δόξα. Ταῖς τοῦ σοῦ Προδρόμου . .

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . .

Στίχος Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον.

Ἦχος Πλ. β΄. Ὅλην ἀποθέμενοι.

Προφῆτα καὶ Πρόδρομε, ψυχῆς ἐμῆς θυμηδία, δέξαι, Πανακήρατε, τὴν προσφερομένην σοι ἱκεσίαν μου, θλίψις γάρ ἔχει με καὶ δεινὰ παντοῖα Ἰωάννη, μεγαλώνυμε, σῶσον τὸν δοῦλον σου, καὶ χειρὸς τοῦ δράκοντός με ἐξάρπασον, καὶ τούτου τῶν παγίδων νῦν, ὡς εὐσυμπαθὴς ἐλευθέρωσον, πρεσβείαν προσάγων, καθὸ κοινὸς μεσίτης πρὸς Θεόν, καὶ πάσης νόσου ἐκλύτρωσε τὸν αὐτοκατάκριτον.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

ᾨδὴ Ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας...

Τῆς Ἀδὰμ ἁμαρτίας τὸ χειρόγραφον, Λόγον τὸν διαρρήξαντα, ἐν ῥείθροις Ἰορδάνου κραυγάζων ὑποδέξω, Ἰωάννη πανεύφημε· ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ. Ἅγιε τοῦ Θεοῦ.

Θελητὴν τοῦ ἐλέους, τὸν φιλάνθρωπον, Μάκαρ, ὑπὲρ τῶν δούλων σου, δυσώπει τῶν πταισμάτων καὶ νόσων ἰοβόλων λυτρωθῆναι τοὺς ψάλλοντας· ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Δόξα.

Θησαυρὸν σωτηρίας καὶ γαλήνιον ὅρμον, καὶ ἐν κινδύνοις ταχὺν προστάτην τοῖς καλοῦσιν, εἰδότες σὲ βοῶμεν, τὸ κλυδώνιον στόρεσον ἀσθενειῶν, Βαπτιστά, ταῖς ἱκεσίαις σου. Θεοτοκίον.

Σωμάτων μαλακίας καὶ ψυχῶν ἀρρωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων τῇ σκέπῃ σου τῇ θείᾳ θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

ᾠδὴ Η΄. Τὸν Βασιλέα.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς, Προφῆτα, βοῶντας, καὶ ἐξαιτουμένους τὴν σὴν ἐπιστασίαν. Ἅγιε τοῦ Θεοῦ

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε, Προφῆτα, καὶ ἀνευφημοῦσι, Παμμάκαρ Ἰωάννη. Δόξα.

Τῆς σωτηρίας τὸν ἀρχηγὸν ἱκετεύων, τὸν Χριστόν, Προφῆτα μὴ ἐλλείπῃς ὅπως ἐκ βασάνων ῥυσθῶμεν αἰωνίων. Θεοτοκίον.



Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους, Παρθένε· ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ Θ΄. Κυρίως Θεοτόκον

Ροήν μου τῶν δακρύων μὴ ἀποποιήσῃς, ὁ ἐν ροαῖς Ἰορδάνου τὸν πάντων Θεόν, συγκαταβάντα βαπτίσας, ὃν μεγαλύνομεν. Ἅγιε τοῦ Θεοῦ.

Κακώσεως δαιμόνων, τῆς ἀδιαλείπτως ἐκπιεζούσης Προφῆτά με λύτρωσε, καὶ ἐπηρείας τῆς τούτων δεῖξον ἀνώτερον. Δόξα.

Ἰσχὺς καὶ θεραπεία, τῇ ἐξ ἀκρασίας καὶ χαλεπῆς ἁμαρτίας, Προφῆτα γενοῦ, κεκακωμένῃ ψυχῇ μου, ἵνα γεραίρω σε. Θεοτοκίον.

Χαρᾶς μου τὴν καρδίαν πλήρωσον, Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Τὸ ἄξιόν ἐστι καὶ τὰ παρόντα Μεγαλυνάρια.

Ἄγονον καὶ ἄκαρπον τὴν ψυχήν, κέκτημαι Παμμάκαρ, φύλλα μόνον ἄνευ καρπῶν, ἔρημον, ἁπάσης ἀγαθῆς ἐργασίας, Προφῆτα, ἀρετῶν με δεῖξον καρπούμενον.

Βαπτιστὰ καὶ Πρόδρομε τοῦ Χριστοῦ, λύχνε φαεσφόρε, ἱκετεύω σε Βαπτιστά. λύχνον ἄναψόν μου ψυχῆς τῆς ταλαιπώρου· ἐσκοτισμένην οὖσαν σὺ καταλάμπρυνον.

Δέομαι Προφῆτα καὶ Βαπτιστά, μή με ὑπερίδῃς τὸν ἀνάξιον πρεσβευτήν, καταβαπτισθέντα τοῖς πά-

θεσι τοῦ βίου καὶ ἐν βορβόρῳ ὄντα σὺ ἐξανάστησον.

Πρέσβευε Προφῆτα πρὸς τὸν Θεόν, ὑπὲρ τοῦ λαοῦ σου καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, τῶν καταφευγόντων τῇ σκέπῃ σου τῇ θείᾳ, καὶ ῥῦσαι πάσης νόσου καὶ περιστάσεως.

Θεοτοκίον.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα· ὦ Δέσποινα τοῦ Κόσμου, γενοῦ μεσίτρια.

Τρισάγιον. Καὶ τὸ Τροπάριον, ἦχος Β΄.

Μνήμη δικαίου μετ' ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ Κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Ἐν τῇ ἀπολύσει, προσκυνοῦντες τὴν ἁγίαν Εἰκόνα ψάλλομεν τὸ παρὸν Προσόμοιον. Ἦχος Β΄.

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

Σπεῦσον ἐξελοῦμαι πειρασμῶν, Πρόδρομε Κυρίου Παμμάκαρ, καθικετεύω σε, μάτην γὰρ κεκίνηνται οἱ πολεμοῦντές με, κατ' ἐμοῦ πικροὶ δαίμονες ζητοῦντες ἁρπάσαι τὴν ψυχὴν τοῦ δούλου σου ὥσπερ στρουθίον οἰκτρόν. Μή με καταλίπῃς εἰς



τέλος, γνώττωσαν δὲ μᾶλλον. Προφῆτα, ὅτι σύ μου πέλεις καταφύγιον.

## ΟΙΚΟΙ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΠΡΟΔΡΟΜΟΝ

Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τῷ ὑπὲρ πάντας ἀληθῶς ἁγίους μείζονι, ὁ ὑπὲρ πάντας ἁμαρτῶν τοὺς ἀνομήσαντας, τὸ ἐφύμνιον προσφέρω σοι Ἰωάννη, ὡς οὖν ἔχων παρρησίαν πρὸς τὸν Κύριον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι, χαῖρε Κῆρυξ τῆς χάριτος.

Ἄρχομαί σοι τὸν ὕμνον Θεοῦμνητε Μάκαρ, χαρᾷ συνειλημμένος καὶ φόβῳ εὐφημῶν γὰρ ᾄδομαι τὰ σά, ἀπορῶν δὲ λόγου, δειλιῶ, Πρόδρομε, αὐτὸς δὲ ἐνισχύων με, παράσχου ἐπαξίως λέγειν:

Χαῖρε, δι' οὗ ἡ χαρὰ ἐφάνη· χαῖρε, δι' οὗ ἡ ἀρὰ ἐφθάρη· χαῖρε τῶν περάτων τῆς γῆς ὁ Διδάσκαλος· χαῖρε τῶν τεράτων Χριστοῦ ὁ Προάγγελος· χαῖρε μῆκος ἁγιότητος φθάνον μέχρις Οὐρανοῦ· χαῖρε πλάτος καθαρότητος, ἁγιάζον πᾶσαν γῆν· χαῖρε ὅτι Τριάδα τὴν ἁγίαν κα εἶδες· χαῖρε ὅτι δυάδα ὑλικὴν ὑπερεῖδες· χαῖρε ἀστὴρ δεικνύων τὸν Ἥλιον· χαῖρε φωστὴρ φωτίζων ὑφήλιον· χαῖρε, δι' οὗ ὁ Χριστὸς ἐμηνύθη· χαῖρε δι' οὗ ὁ Σατὰν ἐμισήθη.

Χαῖρε Κῆρυξ τῆς Χάριτος.

Βλέπων γένος ἀνθρώπων κείμενον ἀπανθρώπως, ἀνίσταται Θεὸς φιλανθρώπως, καὶ θελήσας πέμψαι τὸν Υἱόν, ἐκκαθάρει πάντα τὸν ἰὸν τοῦ ὄφεως, προέπεμψε τὸν Πρόδρομον, κηρύξαι τοῖς ἀνθρώποις λέγειν. Ἀλληλούϊα

Γέννησιν Ζαχαρίας, θυμιάματος ὥρᾳ μανθάνει Υἱοῦ δι' Ἀγγέλου, οἷς δι' ἠπίστησε τούτῳ λαλῶν κατακέκριται μήτι λαλεῖν, βλέψας δὲ τὴν ἔκβασιν τῶν λόγων τοῦ Ἀγγέλου, τὸ λαλεῖν λαμβάνει:

Χαῖρε ἡ θύρα τῆς Σωτηρίας· χαῖρε ἡ λύρα τῆς Ἐκκλησίας· χαῖρε Προφητῶν τοῦ Θεοῦ τὸ συμπέρασμα· χαῖρε ἀρετῶν ἁπασῶν τὸ συμφόρημα· χαῖρε Ἄγγελε ἐπίγειε παρουσίας τοῦ Χριστοῦ· χαῖρε ἄνθρωπε οὐράνιε Βασιλείας τοῦ Θεοῦ· χαῖρε τῆς ἐγκρατείας ὁ σοφὸς παραινέτης· χαῖρε τῆς ἀκρασίας ὁ ὀξὺς ἀναιρέτης· χαῖρε κρατὴρ τοῦ νέκταρος πάροχε· χαῖρε λουτὴρ καθάρσεως πρόξενε· χαῖρε πρηστὴρ καυστικὲ τῆς ἀπάτης· χαῖρε λαμπτὴρ φαυτικὲ γῆς ἁπάσης.

Χαῖρε Κῆρυξ τῆς Χάριτος.

Δεξιοῦται ἀσμένως ἀσπασμῷ ἡ Παρθένος, ἀρδοῦσα, κυοφόρον τὴν στεῖραν, ὁ δὲ Κῆρυξ ἔνδον τῆς Μητρὸς ἐπιγνοὺς τὸν ἔσω τῆς γαστρὸς Κύριον, ἐν ῥήμασι τοῖς ἅλμασι χρησάμενος, ἐβόα λέγων. Ἀλληλούϊα.

Ἔχαιρον τῇ γεννήσει, καὶ ἠρεύνων τὴν κλῆσιν μαθεῖν οἱ συγγενεῖς Ἰωάννου, γράμμασι δὲ



ταύτην ἐκτυπῶν Ζαχαρίας, τέως σιωπῶν, φθέγγεται, οἱ δὲ εὐθὺς ἐχάρησαν, ἐθαύμασαν βοῶντες οὕτω·

Χαῖρε φωνὴν τοῦ πατρὸς δδήσας, χαῖρε σιγὴν τοῦ αὐτοῦ ὁ λύσας, χαῖρε τῶν ἀγόνων λαγόνων τὸ κυημα, χαῖρε τῶν ἀκάρπων τὸ εὔκαρπον βλάστημα, χαῖρε κύκλος ὁ εὐτόρνευτος, κέντρον ἔχων τὸν Χριστόν, χαῖρε κύκνος ὁ ὀξύφωνος, πᾶσιν ᾄδων τὰ χρηστά, χαῖρε ὁ ἐκ κοιλίας μητρικῆς ἡγιασμένος, χαῖρε ὁ πρὸ κοιλίας τῷ Θεῷ ἐγνωσμένος, χαῖρε πηγὴ θαυμάτων ἀκένωτος, χαῖρε πληγὴ δαιμόνων ἀνίατος, χαῖρε δι' οὗ ἐφωτίσθη ἡ κτίσις. Χαῖρε Κῆρυξ τῆς Χάριτος.

Ζέων θυμῷ Ἡρώδης ἀνελεῖν ὁ ληρώδης, Χριστὸν ζητῶν, τὰ βρέφη προστάσει φθειρομένων δὲ τούτων πικρῶς, Ἰωάννης ὁ θεῖος σοφῶς σέσωτο, κηρύξαι τὴν ἀπόρρητον Θεοῦ οἰκονομίαν λέγων·

Ἀλληλούϊα

Ἤγεν ἐν τῇ ἐρήμῳ ἡλικίᾳ ἀνήβῳ Ἄγγελος τὸν Ἄγγελον φέρων, καὶ ὅποιος ἔστι ἐννοῶν, τὸ μυστήριον οὐκ ἀγνοῶν ἥδετο, καὶ ᾄσμασιν ὡς στέμμασι κατέστρεφεν αὐτόν, κραυγάζων:

Χαῖρε ἡ στήλη τῆς εὐσεβείας χαῖρε ἡ πύλη τῆς Βασιλείας· χαῖρε Μωϋσέως τοῦ πάλαι διάδοχε· χαῖρε Βασιλέως τῶν πάντων διάκονε· χαῖρε μάργαρον κρυπτόμενον ἐν τῷ λύθρῳ τῆς σαρκός· χαῖρε ὄργανον κρουόμενον ἐν τῷ πλήκτρῳ τοῦ

Θεοῦ· χαῖρε ἄρτος στηρίζων νηστευόντων κοιλίας· χαῖρε οἶνος ἡδύνων σωφρονούντων καρδίας· χαῖρε Χριστοῦ ὁ φέρων τὸ τρόπαιον· χαῖρε στερρὸν παθῶν ἀποτρόπαιον· χαῖρε, δι' οὗ τὰ ἀρχαῖα παρῆλθε· χαῖρε, δι' οὗ τὰ καινὰ ἐπεισῆλθε.

Χαῖρε Κῆρυξ τῆς Χάριτος.

Θαυμαστὴ πάσῃ φύσει ὤφθη ὡς ὑπὲρ φύσιν ἡ ἐν τῇ ἐρήμῳ σου μετοικία, ἐκ μαστῶν γὰρ εὐθὺς μητρικῶν πρὸς αὐτὴν μετέβης κατοικῶν Πρόδρομε, οὐκ οἴνῳ οὐδὲ σίκερα, Θεῷ δὲ ἐντρυφῶν καὶ ψάλλων. Ἀλληλούϊα.

Ἴθυνάς σου τὸν δρόμον πρὸς οὐράνιον δρόμον, ἀσκήσεως ἐλθὼν πρῶτος δρόμον· καὶ λαμπρότης γέγονας σοφέ, καὶ Χριστοῦ δὲ βίου ὑψηλοῦ Πρόδρομος, πρὸς ὃν ἰθύνας ἅπαντας, ἀκούεις παρὰ πάντων οὕτω:

Χαῖρε ἡ τέχνη τῆς ἐγκρατείας· χαῖρε ἡ στάθμη τῆς ἀκριβείας· χαῖρε ἀσκήσεως ἔμψυχον ἄγαλμα· χαῖρε τῆς ἀθλήσεως θεῖον ἐκτύπωμα· χαῖρε ὅρος ὁ ἀκρότατος παρθενίας ἀληθοῦς· χαῖρε νόμος ἐνθεώτατος θεωρίας εὐαγοῦς· χαῖρε ἀκτημοσύνης ὁ λαμπρὸς προηγήτωρ· χαῖρε ἁγιωσύνης ὁ σοφὸς εἰσηγήτωρ· χαῖρε κανὼν νηστείας θεόσδοτος· χαῖρε εἰκὼν ἁγνείας θεόγραφος· χαῖρε ὀρθῆς πολιτείας ὁ γνώμων· χαῖρε σοφῆς προμηθείας ὁ νοήμων. Χαῖρε Κῆρυξ τῆς Χάριτος.

Κόσμου ἡδυπαθείας, καὶ σαρκὸς προσπαθείας,



ηὐλόγησαι καθάπαξ θεόφρων, καὶ ἀκρίδας εἶχες σου τροφήν, ἐκ καμήλου δὲ στολὴν Πρόδρομε, τοῦ πνεύματος οὐ σώματος ἐπίδοσιν ζητῶν καὶ λέγων· Ἀλληλούϊα.

Λύτρωσιν ἁμαρτίας, βάπτισμα μετανοίας, κηρύσσων ἦλθεν ὁ Ἰωάννης, πᾶσι μετανοεῖτε βοῶν βασιλεία γὰρ τῶν οὐρανῶν ἤγγικε, καὶ χάριν ἐχορήγησε πιστοῖς ὡς ἂν αὐτῷ βοῶσι:

Χαῖρε βουλῆς τοῦ Θεοῦ ὁ μύστης· χαῖρε οὐλῆς τῶν ψυχῶν ὁ ρύστης· χαῖρε χελιδὼν ἡ τὸ ἔαρ μηνύσασα· χαῖρε ἀηδὼν ἡ Χριστὸν κελαδήσασα· χαῖρε νᾶμα, ὃ ἐξέρρευσε θαυμασίως ἐξ Ἐδέμ· χαῖρε πόμα, ὃ ἀνέψυξε τοὺς φλεχθέντας ἐξ Ἀδάμ· χαῖρε ὁ τῶν παρόντων ἀμελῶν ὡς μὴ ὄντων· χαῖρε ὁ τῶν μελλόντων φροντιστὴς ὡς μενόντων· χαῖρε, δι' οὗ ὁ πίπτων ἀνίσταται· χαῖρε, δι' οὗ ὁ βάλλων ἀφίσταται· χαῖρε ψυχὴν πρὸς Θεὸν ὁ ἐκτείνας· χαῖρε ὁρμὴν τῆς σαρκὸς ὁ συστείλας· Χαῖρε Κῆρυξ τῆς Χάριτος.

Μετανοίας τὸν στάχυν τῆς ἐρήμου ὁ στάχυς κελεύει τοὺς ἀκάρπους ἐκφύειν, ἐκκαθάραι ἥκει γὰρ φησὶν ὁ τὸ πτύον ἔχων τῇ χειρὶ Κύριος, καὶ ἀχυρώδεις καύσων, συνάξει δὲ ἐγκάρπους, λέγων

Ἀλληλούϊα

Νέαν θέλων ὁ Κτίστης ἀναδεῖξαι τὴν φύσιν τοῖς ὕδασιν αὐτὴν ἀναπλάττει, καὶ πρὸς τοῦτο φέρει συνεργόν, ὁ βουλήσει πάντα ἐνεργῶν Κύριος, Βα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ

πτίσματος τὸν κήρυκα, ᾧ πάντες οἱ πιστοὶ βοῶμεν·

Χαῖρε φωνὴ τοῦ Θεοῦ ἁγία, χαῖρε σιγὴ τοῦ ἐχθροῦ τελεία· χαῖρε τῆς οὐσίας βροτῶν τὸ κεφάλαιον· χαῖρε παρουσίας Θεοῦ τὸ προοίμιον· χαῖρε ὅτι ἐπεχόρευσε πᾶσα χάρις ἐπὶ σοί. χαῖρε ὅτι ὑπεχώρησε πᾶσα πλάνη διὰ σοῦ· χαῖρε ὁ διαπτύσας τὰ ἡδέα τοῦ βίου· χαῖρε ὁ διαλύσας τὰ πικρὰ τῶν ἐν βίῳ· χαῖρε, δι' οὗ ἡ μετάνοια· χαῖρε, δι' οὗ ἐλύθη ἀπόνοια· χαῖρε ἀμνὸν τοῦ Θεοῦ ὁ κηρύξας· χαῖρε ἁγνὸν ὁ τὸν βίον τηρήσας.

Χαῖρε Κῆρυξ τῆς Χάριτος.

Ξένην κένωσιν βλέπων ὁ βαπτίζων τοῦ Λόγου, ἐξίστατο καὶ ἵστατο λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ, καὶ σὺ βαπτισθῆναι πρὸς ἐμέ γέγονας; ὁ δὲ θαρρεῖν ἐπέταξε, καὶ ἔργον ἐκπληροῦντα, λέγειν.

Ἀλληλούϊα.

Ὁ χειρὶ πάντα φέρων, σῇ χειρὶ ὑποκλίνει τὴν κεφαλὴν Ἰωάννη, οὐ καθάρσεως χρῄζων αὐτός, ἀλλ' Ἀδὰμ καθαίρων ἐν αὐτῷ, ὅθεν σοὶ ὡς λειτουργῷ χάριτος, χαρίζειν ἀκούειν ταῦτα:

Χαῖρε Ἁγίων ἁπάντων μείζων· χαῖρε Ἀγγέλων οὐδὲν ἐλάττων· χαῖρε γεννητοῖς γυναικῶν ὁ ὑπέρτερος· χαῖρε γεννετῆς ἐξ αὐτῆς ὑπέρλαμπρος· χαῖρε κάλαμε τῆς χάριτος νέον νόμον ἐκτυπῶν· χαῖρε θάλαμε τοῦ πνεύματος ἐκ πασῶν τῶν ἀρετῶν· χαῖρε ὅτι ἐγένου γεηρῶν ὑπερόπτης· χαῖρε ὅτι ἐφάνης οὐρανίων ἐπόπτης· χαῖρε ποι-



μὴν θρεμμάτων τοῦ πνεύματος· χαῖρε λιμὴν πνευμάτων ἀπείραστος· χαῖρε ὁ ροῦς ὁ ἐκπλύνων τὰ πάθη· χαῖρε ὁ νοῦς ὁ Θεοῦ βλέπων βάθη.

Χαῖρε Κῆρυξ τῆς Χάριτος.

Πόθος πέποικεν αἴσχους τὸν υἱὸν τῆς αἰσχύνης εἱρκτῇ τὸν Βαπτιστὴν καταλῦσαι, καὶ καλύψαι σπεύδων τὸ κακόν, ἔλαθεν ἀρίδηλον αὐτὸ θέμενος, ὁ λόγος γὰρ οὐ δέξεται τοῖς ψάλλουσι Κυρίῳ οὕτως. Ἀλληλούϊα.

Ῥήματά σου ὡς βέλη δεδεγμένος Ἡρώδης κέντηται τὴν καρδίαν καιρίαν, οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες εἰσὶν ὀδυνηραὶ Πρόδρομε, καὶ θνήσκων ἀνομίᾳ, οὐκ ἠνέσχετο εἰπεῖν σοι ταῦτα·

Χαῖρε ἁγίασμα ὁ παρέχων· χαῖρε τὸ μίασμα ὁ ἐπέχων· χαῖρε τῶν πιπτόντων βροτῶν ἡ ἀνόρθωσις· χαῖρε προκοπτόντων Θεῷ ἡ βεβαίωσις· χαῖρε ἄϋλον ὡς Ἄγγελος ἐν γῇ βίον μετελθών· χαῖρε ἔνηλον ὡς δαίμονα τὸν Ἡρώδην καθελών· χαῖρε ὁ τῶν ἀρρήτων τοῦ Θεοῦ οἰκονόμος· χαῖρε ὁ ἀπορρήτων ἀγαθῶν κληρονόμος· χαῖρε καλῶν εὐωδίαν δωρούμενος· χαῖρε κακῶν δυσωδίαν τροπούμενος· χαῖρε δι' οὗ ὁ Ἀδὰμ ἐνεδύθη· χαῖρε δι' οὗ ὁ Σατὰν ἐγυμνώθη.

Χαῖρε Κῆρυξ τῆς χάριτος.

Σέλας ἡλίου δίκην ἔστιλβεν ὡς ἐκ δίσκου τοῦ πίνακος ἡ θεία σου Κάρα, καὶ τοῦ σκότους πᾶσαν τὴν ἰσχὺν ἡ ἀκτὶς ἀπήλασεν αὐτῆς Πρό-

δρομε, ἡμᾶς καθοδήγησε τῶν φώτων τῷ πατρὶ κραυγάζειν. Ἀλληλούϊα.

Τοῦ φωτὸς τὴν λυχνίαν ὁ τοῦ σκότους ἐργάτης οὐκ ἔφερεν εἰς ἔλεγχον ἔχειν· ὡς γὰρ φίλος ἔργων σκοτεινῶν, παρουσίαν ταύτης σφαλερῶς ἤχθετο· διὸ ἐκ μέσου τίθησιν αὐτόν, μὴ συνιεὶς κραυγάζειν:

Χαῖρε τὸ στέλεχος τῆς ἁγνείας· χαῖρε ὁ ἔλεγχος τῆς λαγνείας· χαῖρε τῶν βροτῶν καὶ Ἀγγέλων μεθόριον· χαῖρε οὐρανοῦ καὶ τῆς γῆς τὸ ἐξαίσιον· χαῖρε μέσος ὃς ἀνέτειλας τοῦ Θεοῦ διαθηκῶν· χαῖρε τέλος ὡς γεγέννησαι τῶν γραφῶν τῶν νομικῶν· χαῖρε ὁ τἀναντία εἰς ταὐτὸ καταμίμαξ· χαῖρε ὁ σαρκίον ἐν σαρκὶ κατορθώσας· χαῖρε βροντὴ τὸν Κόσμον ἐκπλήττουσα· χαῖρε βροχὴ τὴν Κτίσιν ἀρδεύουσα· χαῖρε δι' οὗ εὐσεβεῖς φωταγωγοῦνται· χαῖρε δι' οὗ ἀσεβεῖς πυρπολοῦνται. Χαῖρε Κῆρυξ τῆς χάριτος.

Ὕμνοις ποῖος ἀρκέσει ἀφίκεσθαι τοῦ ὕψους τῆς σῆς μεγαλωσύνης Προφῆτα; ἢ ὑμνήσει τίς τῶν γηγενῶν, ὃν ἁπάντων μείζονα Χριστὸς ἔδειξε; διὸ τὴν πίστιν δέδοξο τῶν μετὰ σοῦ βοώντων.

Ἀλληλούϊα.

Φαεσφόρος ὡς ὄρθρος τοῦ Ἡλίου τῆς δόξης, κακίας με ἐξέγειρον ὕπνου, καὶ υἱὸν ἀνάδειξον φωτός, γρηγοροῦντα ἔργοις φωτεινοῖς Πρόδρομε, ὡς



ἂν φαιδρῷ προσώπῳ σοι, καὶ γλώττῃ γηθοσύνῳ, λέγω:

Χαῖρε πυρσὲ τῶν ἐν ζάλῃ ὄντων· χαῖρε χρυσὲ τῶν πενίᾳ ζώντων· χαῖρε λυπουμένων ταχεῖα παράκλησις· χαῖρε πλανωμένων ἑτοίμη ἀνάκλησις· χαῖρε πάντων εὐδυσώπητος πρὸς Θεὸν διαλλαγή· χαῖρε πάντων εὐσυμπάθητος λυπηρῶν ἀπαλλαγή· χαῖρε τῶν νοσημάτων τῶν πιστῶν ἡ ὑγεία· χαῖρε τῶν μολυσμάτων τῶν αὐτῶν ἡ ἁγνεία· χαῖρε πταιόντων θεῖον ἐξίλασμα· χαῖρε πιπτόντων μέγα διάσωσμα· χαῖρε ὁ πᾶσι τὰ πάντα παρέχων· χαῖρε ἑκάστῳ τὸ πρόσφορον νέμων.

Χαῖρε Κῆρυξ τῆς χάριτος.

Χάριτι παντελείῳ χαριτώνυμε Κῆρυξ ψυχήν μου χαριτώσαις καὶ φρένας, τῶν παθῶν τὸν ρύπον ἐξ αὐτῶν μετανοίας γνώσει ἐξελὼν ἅπαντα· καὶ δείξαις σῇ μοι χάριτι ἐπάξιον Θεῷ κραυγάζειν.

Ἀλληλούϊα.

Ψώμισόν με Προφῆτα τῆς ἀφθάρτου τραπέζης ψιχίοις πεπτωκόσιν ὡς κύνα, ἐν λιμῷ γὰρ τήκομαι σφοδρῷ, σωτηρίου ἄρτου ἀπορῶν Πρόδρομε, καὶ κόρεσον καρδίαν μου, ὡς ἂν σοι εὐχαρίστως κράζω:

Χαῖρε σφραγὶς Προφητῶν ἁγίων· χαῖρε κρηπὶς Ἀποστόλων θείων· χαῖρε νυμφοστόλε ὡραῖε τῆς χάτιτος· χαῖρε Θεολόγε δογμάτων τοῦ πνεύματος· χαῖρε ὄμμα καθαρώτατον τὰ ἀθέατα ἰδόν·

χαῖρε στόμα ἁγιώτατον τὰ ἀπόρρητα εἰπόν· χαῖρε Πρόδρομε, μάρτυς, Βαπτιστά, φωνή, λύχνε· χαῖρε πρόκριτε, μάκαρ, μηνυτά, μύστα, φίλε· χαῖρε γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα· χαῖρε νοὸς καὶ γλώττης ἐντρύφημα· χαῖρε κοινὲ πρεσβευτὰ καὶ μεσίτα· χαῖρε ἐμοῦ ἐξαιρέτως προστάτα.

Χαῖρε Κῆρυξ τῆς χάριτος

Ὦ προφῆτα Κυρίου, μεγαλώνυμε Κῆρυξ, Ἁγίων ὑπερέκεινα πάντων, τῇ μικρᾷ νῦν πρόσχες ἀπαρχῇ, καὶ τῶν δεινῶν ἁπάσης ταραχῆς ῥῦσαί με καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως Θεῷ βοῶντα.

Σεπτεμβρίου 5. Ζαχαρίου τοῦ Προφήτου πατρὸς τοῦ Προδρόμου. Ἀπολ ἦχ. δ'.

Ἱερωσύνης στολισμὸν περιβαλλόμενος σοφέ, κατὰ τὸν νόμον τοῦ Θεοῦ, ὁλοκαυτώματα δεκτά, ἱεροπρεπῶς προσενήνοχας Ζαχαρία, καὶ γέγονας φωστὴρ καὶ θεατὴς μυστικῶν, τὰ σύμβολα ἐν σοὶ τὰ τῆς χάριτος, φέρων ἐκδήλως πάνσοφε· καὶ ξίφη ἀναιρεθεὶς ἐν τῷ Ναῷ τοῦ Θεοῦ, Χριστοῦ Προφῆτα, σὺν τῷ Προδρόμῳ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχ. Γ'.

Ὁ Προφήτης σήμερον καὶ ἱερεὺς τοῦ Ὑψίστου Ζαχαρίας προὔθηκεν, ὁ τοῦ Προδρόμου γενέτης τράπεζαν τῆς αὐτοῦ μνήμης πιστοὺς ἐκτρέφων, πόμα τε δικαιοσύνης τούτους κεράσας. Διὰ τοῦτο



εὐφημοῦμεν ὡς θεῖον μύστην Θεοῦ τῆς χάριτος.

Μεγαλυνάριον.

Ἄνθος τὸ θεόσδοτον ἐκφυὲν Ἐλισάβετ στεῖρα, εὐωδίας ἁγιασμοῦ, καὶ τοῦ Ζαχαρίου καρπὸν συλλαμβάνει, Προφήτης Υἱὸς κληθήσει, ὁ τῆς ἐρήμου γενέτης ὁ θεῖος Πρόδρομος.

Σεπτεμβρίου 23. Ἡ σύλληψις τοῦ Προδρόμου.

Ἀπολ. Ἦχ. Δ'.

Ἡ πρῴην οὐ τίκτουσα στεῖρα εὐφράνθητι· ἰδοὺ γὰρ συνέλαβες Ἡλίου λύχνον σαφῶς φωτίζειν τὸν μέλλοντα, πᾶσαν τὴν οἰκουμένην, ἀβλεψίᾳ νοσοῦσαν. Χόρευε Ζαχαρία, ἐκβοῶν παρρησίᾳ. Προφήτης τοῦ Ὑψίστου ἐστὶν ὁ μέλλων τίκτεσθαι.

Κοντακ. Ἦχ. Α. Χορὸς ἀγγελικός.

Εὐφραίνεται λαμπρῶς Ζαχαρίας ὁ μέγας, καὶ ἡ πανευκλεὴς Ἐλισσάβετ ἡ σύζυξ, ἀξίως συλλαμβάνουσα Ἰωάννην τὸν Πρόδρομον, ὃν Ἀρχάγγελος εὐηγγελίσατο χαίρων καὶ οἱ ἄνθρωποι ἀξιοχρέως τιμῶμεν, ὡς μύστην τῆς χάριτος.

Μεγαλυνάριον.

Στεῖρα καὶ πρεσβύτης θείᾳ βουλῇ, καρπὸν συλλαμβάνει, τὸν ὑπέρτερον Προφητῶν, τῶν τὴν ἀκαρπίαν ψυχῶν μέλλοντα τέμνειν, ἀξίνῃ μετανοίας, ὃν μεγαλύνομεν.

24 Φεβρουαρίου. Ἡ πρώτη καὶ δευτέρα εὕρεσις τοῦ τιμίου Προδρόμου Ἀπολ. Ἦχ. Δ'.

Ἐκ γῆς ἀνατείλασα ἡ τοῦ Προδρόμου Κεφαλή, ἀκτῖνας ἀφίησι τῆς ἀφθαρσίας πιστοῖς

τῶν ἰάσεων· ἄνωθεν συναθροίζει τὴν πληθὺν τῶν Ἀγγέλων, κάτωθεν συγκαλεῖται τῶν ἀνθρώπων τὰ γένη, ὁμόφωνον ἀναπέμψαι δόξαν Χριστῷ τῷ Θεῷ.

Κοντάκιον Ἦχος Β΄. Τὰ ἄνω ζητῶν.

Προφῆτα Θεοῦ καὶ Πρόδρομε, τῆς χάριτος τὴν Κάραν τὴν σὴν ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Μεγαλυνάριον.

Πρόδρομε Κυρίου καὶ Βαπτιστά, λύχνε τοῦ Ἡλίου, ἑωσφόρε φωταγωγέ, τὴν ἐσκοτισμένην τοῖς πάθεσι τοῦ βίου ψυχήν μου τὴν ἀθλίαν σὺ φωταγώγησον.

Ἐὰν τύχῃ ἡ ἑορτὴ τῆς Εὑρέσεως Τετάρτη καὶ Παρασκευὴ τῆς Τυροφάγου, τελεῖται λειτουργία τοῦ Χρυσοστόμου, ἐν δὲ τῇ Μ. Τεσσαρακοστῇ ὁποίαν ἡμέραν τύχῃ τελεῖται λειτουργία τῶν Προηγιασμένων πλὴν Σάββατον καὶ Κυριακήν.

Κατάλυσις οἴνου καὶ ἐλαίου.

25. Ἡ τρίτη Εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου Ἀπολ. Ἦχος Δ΄.

Ὡς θεῖον θησαύρισμα ἐγκεκρυμμένον τῇ γῇ, Χριστὸς ἀπεκάλυψε τὴν Κεφαλήν σου ἡμῖν, Προφῆτα καὶ Πρόδρομε· πάντες οὖν συνελθόντες ἐν τῇ ταύτης Εὑρέσει, ᾄσμασι θεηγόροις, τὸν Σωτῆρα ὑμνοῦμεν, τὸν σώζοντα ἡμᾶς, ἐκ φθορᾶς ταῖς ἱκεσίαις σου.



Κοντάκιον Ἦχος Β΄. Τὰ ἄνω ζητῶν.

Προφῆτα Θεοῦ καὶ Πρόδρομε, τῆς χάριτος τὴν Κάραν τὴν σὴν ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι τὰς ἰάσεις πάντοτε λαμβάνομεν καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Μεγαλυνάριον.

Τὴν μνήμην τελέσωμεν ἀδελφοί, Κάρας τῆς Ἁγίας τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, τῆς ἀποτμηθείσης, ὑπὸ Ἡρώδου πάλαι, νυνὶ δὲ προχεούσης πᾶσιν ἰάματα.

Κατάλυσις οἴνου καὶ ἐλαίου. Ἂν τύχῃ ἑορτὴ τῆς Εὑρέσεως Κυριακὴ τῆς Πεντηκοστῆς μετατίθεται διὰ τὴν Δευτέραν τοῦ Ἁγίου Πνεύματος. Γ. Α. Β

Ἰουνίου 24. Τὸ Γενέθλιον τοῦ Προδρόμου Ἀπολ. Ἦχος Δ΄.

Προφῆτα καὶ Πρόδρομε τῆς παρουσίας Χριστοῦ. ἀξίως εὐφημῆσαί σε, οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε· στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμου κηρύττεται.

Κοντάκιον Ἦχος Γ΄. Ἡ Παρθένος.

Ἡ πρὶν στεῖρα σήμερον, Χριστοῦ τὸν Πρόδρομον τίκτει, καὶ αὐτὸς τὸ πλήρωμα, ἁπάσης τῆς προφητείας· ὅνπερ γὰρ προανεκήρυξαν οἱ Προφῆ-

ται, τοῦτον δή, ἐν Ἰορδάνῃ χειροθετήσας, ἀνεδείχθη Θεοῦ Λόγος, Προφήτης, Κῆρυξ, ὁμοῦ καὶ Πρόδρομος.

Μεγαλυνάριον.

Τὸν τοῦ Ζαχαρίου θεῖον βλαστόν, καὶ τῆς Ἐλισάβετ, τὴν παγκόσμιον χαρμονήν, τὴν φωνὴν τοῦ Λόγου, τὸν λύχνον τοῦ Ἡλίου, τὸν Πρόδρομον Κυρίου ὕμνοις τιμήσωμεν.

Ἀργία καὶ ἰχθύος κατάλυσις οἵαν ἡμέραν τύχῃ, ἐὰν τύχῃ Κυριακὴν Δοξαστικὸν τῶν Αἵνων, Ἀπόστολος καὶ Εὐαγγέλιον λέγεται τῶν Ἁγίων. Ἐπικρατεῖ συνήθεια εἰδωλολατρικὴ τὴν σήμερον ἡμέραν νὰ μεταχειρίζηται σατανικὰ πράγματα τὸ γυναικεῖον φύλον νὰ λέγῃ τοῦ Ἁγίου Ἰωάννου τοῦ κλυδώνου καὶ νὰ κάμνῃ ἐκεῖνα ὅπου δὲν περιγράφονται. Ἀλλοίμονον εἰς τὴν ἀπώλειαν καὶ ψυχικὴν των καταστροφήν, ὅπου ἵλεως γένοιτο ὁ Κύριος.

29 Αὐγούστου. Ἡ Ἀποτομὴ τοῦ Προδρόμου.

Ἀπολυτ. Ἦχος Δ'.

Ὁ τίμιος Πρόδρομος, ἐν τῇ Γεννήσει αὐτοῦ, δεσμοὺς διερρήξατο τῆς στειρευούσης μητρός, ἐν δὲ τῇ σφαγῇ αὐτοῦ ἔσφιγξε τὰς σφραγίδας τῆς ἐνθέου ἁγνείας, ἔλεγχος χρηματίσας, τῆς Ἡρώδου μοιχείας, αὐτοῦ Χριστὲ ἱκεσίαις πάντας ἐλέησον.

Κοντάκιον Ἦχος Πλ. Α'.

Ἡ τοῦ Προδρόμου ἔνδοξος ἀποτομή, οἰκονομία γέγονέ τις θεϊκή, ἵνα καὶ τοῖς ἐν Ἅδῃ τοῦ Σωτῆρος κηρύξῃ τὴν ἔλευσιν: Θρηνήτω οὖν Ἡρωδιάς, ἄνομον φόνον αἰτήσασα, οὐ νόμον γὰρ τὸν



τοῦ Θεοῦ, οὐ ζῶντα αἰῶνα ἠγάπησεν, ἀλλ' ἐπίπλαστον πρόσκαιρον.

Μεγαλυνάριον.

Κἂν ἐτμήθης Κάραν ὦ Βαπτιστά, φθέγγεται ἡ γλῶσσα τὸν Ἡρώδην ἐλέγχουσα, λόγον τὴν φωνήν σε, σιγῆσαι γὰρ οὐκ ἔστιν, ἀλλὰ καὶ τὸν Χριστὸν κηρύξασθαι.

Ἀργία καὶ Νηστεία Ἐὰν τύχῃ Σάββατον ἢ Κυριακὴν τῆς Ἀποτομῆς ἔχει ἐλαίου καὶ οἴνου κατάλυσιν. Δοξαστικὰ ἑσπερινῶν Αἴνων, Ἀπόστολον, Εὐαγγέλιον ἐὰν συμπέσῃ Κυριακὴ εἶναι τοῦ Ἁγίου.

7 Ἰανουαρίου Ἡ Σύναξις τοῦ Προδρόμου

Ἀπολ. Ἦχος Β'.

Μνήμη δικαίου μετ' ἐγκωμίων· σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε: ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος· ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον· ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας χαίρων εὐηγγελίσω, καὶ τοῖς ἐν Ἅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον Ἦχος Πλ. Β'.

Τὴν σωματικήν σου παρουσίαν δεδηκὼς ὁ Ἰορδάνης φόβῳ ἀπεστρέφετο: τὴν προφητικὴν δὲ λειτουργίαν ἐκπληρῶν ὁ Ἰωάννης τρόμῳ ὑπεστείλετο, τῶν Ἀγγέλων αἱ τάξεις ἐξεπλήττοντο, ὁρῶσαί σε ἐν ῥείθροις σαρκὶ βαπτιζόμενον, καὶ πάντες οἱ ἐν τῷ σκότει κατηυγάζοντο, ἀνυμνοῦντές

σε τὸν φανέντα, καὶ φωτίσαντα τὰ πάντα.

Μεγαλυνάριον.

Ἁπάντων ἐδείχθης τῶν Προφητῶν, σφραγὶς Ἰωάννη, καὶ θεότητος τοῦ Χριστοῦ, Πρόδρομος καὶ κῆρυξ, ὃν καὶ κατηξιώθης βαπτίσαι Ἰορδάνου τοῖς θείοις νάμασιν.

Ἐὰν τύχῃ ἡ ἑορτὴ τοῦ Προδρόμου Τετάρτη ἢ Παρασκευὴ ἔχει μόνον ἀργίαν καὶ κατάλυσιν ἰχθύος. Εἰς τὴν Λειτουργίαν τὸ Εἰσοδικόν, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου κτλ. Καὶ ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε· ἂν τύχῃ Κυριακὴ Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου, καὶ τὴν ἐρχομένην Κυριακὴν μετὰ τὰ Φῶτα. Ἂν τύχῃ Τριῴδιον τότε ἀναγινώσκεται ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τὸ Σάββατον, νὰ μένῃ καθαρὰ ἡ Κυριακὴ τοῦ Τριῳδίου. Γ. Α. Β

Πολυέλεος εἰς τὸ Γενέσιον τοῦ Προδρόμου 24 Ἰουνίου

Τῷ Λαῷ αὐτοῦ. Ἀλληλούϊα.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Ἀλληλούϊα.

Καὶ ἤγειρας κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ. Ἀλληλούϊα.

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτήν. Ἀλληλούϊα.

Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἀλληλούϊα.

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ. Ἀλληλούϊα.



Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. Ἀλληλούϊα.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Ἀλληλούϊα.

Δυνατὸν ἐν τῇ γῇ, ἔσται τὸ σπέρμα αὐτοῦ. Ἀλληλούϊα.

Γενεὰ εὐθέων εὐλογηθήσεται. Ἀλληλούϊα.

Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ. Ἀλληλούϊα

Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀλληλούϊα.

Ἐξανέτειλεν ἐν σκότει, φῶς τοῖς εὐθέσιν. Ἀλληλούϊα.

Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. Ἀλληλούϊα

Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. Ἀλληλούϊα.

Ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν. Ἀλληλούϊα.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. Ἀλληλούϊα.

Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον. Ἀλληλούϊα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ.
Ἀλληλούϊα.

Ἐσκόρπισεν ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀλληλούϊα.

Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου.
Ἀλληλούϊα.

Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.
Ἀλληλούϊα.

Καὶ οὐχ ὑποσκελιθήσεται τὰ διαβήματα αὐτοῦ.
Ἀλληλούϊα.

Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Ἀλληλούϊα.

Καὶ σὺ παιδίον προφήτης Ὑψίστου κληθήσῃ.
Ἀλληλούϊα.

Προπορεύσει γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Ἀλληλούϊα

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν. Ἀλληλούϊα.

Ὅτι Σὺ εὐλογήσεις δίκαιον Κύριε.
Ἀλληλούϊα.

Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν.
Ἀλληλούϊα.

Τοῦ κατευθύναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. Ἀλληλούϊα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τὸν Πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν, καὶ τὸ Πανάγιον ὁμοῦ Πνεῦμα ἀνυμνήσωμεν, κράζοντες καὶ λέγοντες· Παναγία Τριάς, σῶσον πάντας ἡμᾶς. Καὶ νῦν.



Τὴν Μητέρα σου προσάγει σοι εἰς ἱκεσίαν ὁ λαός σου Χριστέ· ταῖς παρακλήσεσιν αὐτῆς, τοὺς οἰκτιρμούς σου δός ἡμῖν Ἀγαθέ, ἵνα σὲ δοξάζομεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

***Αἴτησις.*** Ὅτι εὐλόγηταί σου ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

### *Μακαριστήρια*
### *εἰς τὴν Σύναξιν τοῦ Τιμίου Προδρόμου.*

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομέν σε Χριστέ μου Ζωοδότα.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦσιν ὦ Βαπτιστὰ Κυρίου.

Αἱ γενεαὶ πᾶσαι τιμῶμεν σε ἀξίως Πρόδρομε Ἰωάννη

Δεῦτε πιστοὶ ἀξίως, ὑμνήσωμεν τὸν Κτίστην, ὃν Πρόδρομος βαπτίζει.

Δῆμοι φιλεόρτων, ἀθροισθῆτε ὑμνῆσαι τὸν Πρόδρομον Κυρίου.

Σήμερον Ἰωάννης βαπτίζει τὸν Δεσπότην, ἐν ῥείθροις Ἰορδάνου.

Χαίροις ὦ Ἰωάννη Πρόδρομε καὶ Προφῆτα, καὶ Βαπτιστὰ Κυρίου.

Χαίροις ὦ Ἰωάννη βλαστὲ τοῦ Ζαχαρίου, καὶ Λύχνε τοῦ Ἡλίου.

Ἰδοὺ ὁ Ἰωάννης, χειροθετεῖ τὸν Κτίστην ἐν ῥείθροις Ἰορδάνου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὁ θεῖος Ἰωάννης, βαπτίζει τὸν Σωτῆρα, θέαμα ξένον ὄντως.
Τῶν Προφητῶν ἁπάντων ὑπέρτερον ὁ Κτίστης, Πρόδρομε μαρτυρεῖσαι.
Προφῆτα ἄφες ἄρτι, καὶ βάπτισον λέγει Χριστὸς τῷ Ἰωάννη.
Σήμερον τῶν ὑδάτων, ἡγίασται ἡ φύσις, τοῦ Κτίστου βαπτισθέντος.
Ἄγγελοι τὸν Δεσπότην, γυμνὸν ἐν Ἰορδάνη, ἐξίσταντο ὁρῶντες.
Ὑπὸ Πατρὸς Σωτήρ μου, σαφῶς ἐμαρτυρήθης Υἱὸς ἠγαπημένος.
Σήμερον πᾶσα κτίσις ἀγάλλεται καὶ χαίρει Χριστοῦ ἐπιφανέντος.
Οὐράνιαι Δυνάμεις παρίσταντό σοι φόβῳ, Χριστὲ ἐν Ἰορδάνη.
Τῶν εὐσεβῶν τὰ στήθη, τιμήσωμεν ἀξίως, τὸν Πρόδρομον Κυρίου.
Τῶν ὀρθοδόξων δῆμοι, ἀθροίσθητε τελέσαι, μνήμην τοῦ Ἰωάννου.
Τοὺς σὲ τιμῶντας πόθῳ, ὦ θεῖε Ἰωάννη, ῥῦσαι παντὸς κινδύνου.
Ὦ θεῖε Ἰωάννη, σῶσον ἡμᾶς, τοὺς πίστει σὲ ἀνυμνολογοῦντας.
Πρόδρομε καὶ Προφῆτα, ῥῦσαι κινδύνων πάντας, ταῖς πρὸς Θεὸν λιταῖς σου.
Ὦ λύχνε τοῦ Ἡλίου, ὑπὲρ ἡμῶν μὴ παύσῃς πρεσβεύειν τῷ Σωτῆρι.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.
Τρισήλιε Θεέ μου, λιταῖς τοῦ Ἰωάννου, σῶσον ἡμᾶς τοὺς σοὺς δούλους.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.



Παρθένε Θεοτόκε, μετὰ τοῦ Ἰωάννου ὑπὲρ ἡμῶν δυσώπει.

**Ἀπόστολος.**

Προκείμενον Ἦχος βαρύς.
Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.
Πρὸς Ρωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν. Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν· μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθαι εἰς ἐπιθυμίαις. Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθαι, μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω, καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ Κυρίῳ στήκει, ἢ πίπτει, σταθήσεται δέ· δυνατὸς γὰρ ἐστὶν ὁ Θεὸς στῆσαι αὐτόν. (Ἀλληλούϊα τρίς.)

***Εἰς τὸν Ὄρθρον***

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ Ζαχαρίου, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα· Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέ-

ραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· καὶ ἐγέννησεν υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς· καὶ συνέχαιρον αὐτῇ. Καὶ ἐγένετο, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον· καὶ ἐκάλουν αὐτο, ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ, εἶπεν· Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης. Καὶ εἶπον πρὸς αὐτήν· Ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὅς καλεῖται τῷ ὀνόματι τούτῳ. Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τό, τί ἂν θέλει καλεῖσθαι αὐτόν. Καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐθαύμασαν πάντες. Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ· καὶ ἐλάλει, εὐλογῶν τὸν Θεόν. Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ρήματα ταῦτα. Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες. Τι ἄρα τὸ παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύματος Ἁγίου· προεφήτευσε, λέγων Εὐλογητός, Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ σύ, παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι· καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.



## ***Εἰς τὴν Λειτουργίαν***

Ἐκ τοῦ κατα Λουκᾶν.

Ἐπειδή περ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου· ἔδοξε κἀμοί, παρακολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε· ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ Βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι. Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν Ναὸν τοῦ Κυρίου. Καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. Καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἄγγελος· Μὴ φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου· καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ· καὶ Πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ· καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν

αὐτῶν. Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν Ἄγγελον. Κατὰ τὶ γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης καὶ ἡ γυνή μου προβεβηκυῖα, ἐν ταῖς ἡμέραις αὐτῆς. Καὶ ἀποκριθεὶς ὁ Ἄγγελος, εἶπεν αὐτῷ. Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστικὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆσαι πρὸς σέ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. Καὶ ἰδού, ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτῶν ἐν τῷ Ναῷ. Ἐξελθὼν δέ, οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ Ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς· καὶ διέμεινε κωφός. Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα. Ὅτι οὕτω μοι πεποιήκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· καὶ ἐγέννησεν υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι καί οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς καὶ συνέχαιρον αὐτῇ. Καὶ ἐγένετο, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον· καὶ ἐκάλουν αὐτό, ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν. Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ, εἶπεν· Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης. Καὶ εἶπον πρὸς αὐτήν. Ὅτι οὐδείς ἐστιν



ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται τὸ ὄνομα τούτῳ· Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τό, τί ἂν θέλοι καλεῖσθαι αὐτόν. Καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐθαύμασαν πάντες· Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ· καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν. Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. Καὶ ἔθεντο πάντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες. Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύματος Ἁγίου, καὶ προεφήτευσε, λέγων· Εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ σύ, Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

**Ὁμιλία εἰς τὸ Γενέθλιον τοῦ Προδρόμου.**

**Εὐλόγησον Πάτερ.**

Οὗτος ἐμαρτυρήθη ὑπὸ Δεσπότου Χριστοῦ, ὅτι μεταξὺ τῶν γεννητῶν υἱῶν τῶν γυναικῶν, ὅτι αὐτὸς εἶναι ὁ μεγαλείτερος πάντων, καὶ ὅτι ὑπερβαίνει ὅλους τοὺς Προφήτας, οὗτος ἐσκήρτησεν καὶ ἐκ τῆς κοιλίας τῆς μητρός, καὶ ἐκήρυξεν εἰς ὅλους τοὺς ἐν τῇ γῇ τὴν παρουσίαν τοῦ Σωτῆρος. Οὗτος προέδραμε καὶ ἐπῆγε εἰς τὸν Ἅδην, καὶ ἐκεῖ ἀνηγγέλισε τὴν ἔλευσιν τοῦ Κυρίου: Οὗτος ἐχρημάτισεν υἱὸς Ζαχαρίου τοῦ Ἀρχιερέως, καὶ Ἐλισάβετ τῆς στείρας, γεν-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

νηθεὶς διὰ θείας ἐπαγγελίας καὶ ὑποσχέσεως. Αὐτὸς καὶ τὴν σιωπὴν τοῦ πατρός του Ζαχαρίου ἔλυσεν ὅταν ἐγεννήθη, καὶ ὅλον τὸν κόσμον ἐνέπλησε χαρᾶς. Διὰ τοῦτο καὶ οἱ Ἄγγελοι σήμερον μετὰ τῶν ἀνθρώπων εὐφραίνονται, καὶ ὅλη ἡ κτίσις χαρᾶς ἐπληρώθη. Αὐτὴ ἐφάνηκε θαυμαστότερη ὅτι κατὰ τὴν ὀγδόην ἡμέραν τῆς περιτομῆς τὰ ὀνομαστήρια τοῦ παιδίου. Οἱ παρόντες ἐκάλουν ἐπ' ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν. Ἡ μήτηρ κατὰ θείαν οἰκονομίαν ἀποκριθεῖσα εἶπεν· οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης. Ὁ δὲ πατὴρ ἐρωτόμενος περὶ τούτων διὰ νεύματος μὴ δυνάμενος λαλῆσαι, αἰτήσας πινακίδιον ἔγραψεν: Ἰωάννης ἔσται τὸ ὄνομα αὐτοῦ Καὶ παραχρῆμα ἀνεῴχθη αὐτοῦ τὸ στόμα, ἐλύθη αὐτοῦ ἡ γλῶσσα ἐνεαμήνου δεσμοῦ, καὶ πλησθεὶς Πνεύματος Ἁγίου ᾄδει τὴν ᾠδὴν τῆς Νέας Διαθήκης εὐλογῶν τὸν Θεὸν Ἰσραὴλ τὸν πληρώσαντα πρὸς τοὺς πατέρας αὐτοῦ γενομένης ἐπαγγελίας τὸν ἐπισκεψάμενον, τοὺς ἐν σκότει καὶ σκιᾷ καθημένους καὶ ἐξαποστείλαντα αὐτοῖς τὸ φῶς τὸ σωτήριον.

Προφητεύει δὲ καὶ περὶ τοῦ Παιδίου ὅτι οὗτος ἔσται Προφήτης τοῦ Ὑψίστου καὶ τοῦ Ἰησοῦ Πρόδρομος. Τὸ δὲ παιδίον Ἰωάννη, ὅπερ δηλοῖ πλήρης χάριτος, ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν τοῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ. Καὶ σὺ Παιδίον Προφήτης Ὑψίστου κληθήσῃ προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΓΡΗΓΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ